§. Ϡξϛ΄. Κ. Ἐπὶ πᾶσι προσέχειν. Τὸ περὶ ὀνομάτων (ἐσθ᾽ ἂν ᾖ τὰ πράγματα συμβαίνοντα) μὴ πάνυ διαφέρεσθαι (1). Ἀδολέσχῳ δὲ ἐντυχάνοντα, μὴ συναδολεσχεῖν, σιγᾶν δ᾽ αἱρεῖσθαι, καὶ μηδ᾽ ἀξιῦν ἀπαντήσεως (2). Ἐκ παντός τε τρόπȣ τὸ Σοφιστικὸν, καὶ Φιλόνεικον, καὶ δύσερι φεύγειν (3), ὃ τῶν τῆς Διαλεκτικῆς παραγγελμάτων τὸ ΠΡΩΤΟΝ ἐστὶ, καὶ ΜΕΣΟΝ, καὶ ΠΥΜΑΤΟΝ.

(1) „Τεχνάζονται γάρτινες ἐξεπίτηδες, ὑπὲρ τȣ͂ μηδὲν περανθῆναι, „πρὸς ἕκαστον τῶν ὀνομάτων ἐνίστασθαι. „(Γαλ. περὶ τῶν καθ᾽ Ἱπποκρ. καὶ „Πλάτ Δογμ. Βιβλ. Ε.). Τὰ τοίνυν πράγματα συγχωρήσας ὑπὲρ ὀνομάτων αἰδεσθήσῃ διαφέρεσθαι. . . . . „μηδὲ καθάπερ κολοιὸν, ἢ κόρακα „περὶ φωνῶν ζυγομαχεῖν, ἀλλ᾽ αὐτὴν „τῶν πραγμάτων σπȣδάζειν τὴν ἀλήθειαν. (Αὐτ. ὅτι Ἄριστος, Ἰατρ. καὶ Φιλόσ.).

(2) Ἀληθὲς γὰρ τὸ ὑπὸ τῶν παλαιῶν φιλοσόφων εἰρημένον, ὡς ȣ̓κ „ἐνδέχεται τινὰ διαλεγόμενον ἀδολέσχοις ἀνθρώποις, ἀπέχεσθαι τελείως „ἁπάσης ἀδολεσχίας. (Αὐτ. περὶ τῶν καθ᾽ Ἱπποκ. καὶ Πλατων. Δογμ. Βιβλ. Γ.)

(3) Εἰσὶ γὰρ οἱ φαύλως δηλονότι καὶ ἀπαιδεύτως περὶ τῆς Διαλεκτικῆς κρίνοντες, καὶ τὸ ἐξ αὐτῆς καλὸν σφίσιτε ἐνδιαφθείροντες, καὶ τοῖς ἄλλοις προσδιαβάλλοντες· „Οἱ μὲν γὰρ, „ὥσπερ τὰ Σκυλάκια (φησὶν ὁ Πλάτων) τῷ ἕλκειν καὶ σπαράττειν χαίροντες, ἐπὶ τὰς ἔριδας, καὶ τὰς ἀπορίας, καὶ τὰ σοφίσματα χωρȣ͂σιν. „Οἱ δὲ πλεῖστοι τοῖς Διαλεκτικοῖς ἐνδῦντες, εὐθὺς ἐπισιτίζονται πρὸς Σοφιστείαν. Ἀλλὰ γὰρ αἰσθοίμεθ᾽ ἂν „ἑαυτῶν προκοπτόντων ἐπ᾽ ἀρετῇ, ὡς ὁ Πλȣ́ταρχος διατείνεται (Αὐτ.), μάλιστα εἰ τὸ φιλόνεικον καὶ δύσερι περὶ „τὰς συζητήσεις ὑφεῖται, καὶ πεπαύμεθα τȣ̀ς λόγȣς ὥσπερ ἱμάντας, „ἢ σφαίρας ἐπιδιδόμενοι πρὸς ἀλλήλȣς, „καὶ τῷ πατάξαι καὶ καταβαλεῖν „μᾶλλον, ἢ τῷ μαθεῖν τι καὶ διδάξαι χαίροντες. Ἡ γὰρ ἐν τȣ́τοις „ἐπιείκεια καὶ πρᾳότης, καὶ τὸ μὴ „μετ᾽ ἀγῶνος συνίστασθαι, μήτε διαλύεσθαι μετ᾽ ὀργῆς τὰς κοινολογίας, „μηδ᾽ οἷον ἐφυβρίζειν ἐλέγξαντας, ἢ „χαλεπαίνειν ἐλεγχθέντας, ἱκανῶς „προκόπτοντος ἐστίν. Ἐδήλωσε δὲ Ἀρίστιππος ἔντινι λόγῳ κατασοφισθεὶς „ὑπ᾽ ἀνθρώπȣ τόλμαν ἔχοντος, ἄλλως δὲ μανικȣ͂ καὶ ἀνοήτȣ. Χαίροντα γὰρ αὐτὸν ὁρῶν καὶ τετυφωμένον, „ἐγὼ μὲν (εἶπεν ὁ ἐλεγχθεὶς) ἄπειμι „σȣ͂ τȣ͂ ἐλέγξαντος ἥδιον καθευδήσων.

ΤΕΛΟΣ.



# ΕΛΕΓΧΟΣ
## ΤΩΝ ΕΝ ΤΗ ΒΙΒΛΩ.

Ἐν ᾧ

Διὰ μὲν τῶν Ἀραβικῶν χαρακτήρων ὁ ἀριθμὸς τῶν Σελίδων δηλȣ͂ται, διὰ δὲ τῶν Ἑλληνικῶν ὁ τῶν Παραγράφων. Οὗ δ᾽ ἂν ᾖ τὸ Σ. ἡ τῷ Παραγράφῳ ἀνήκȣσα Σημείωσις.

A.


Ἀγωγῆς ἐκ φαύλης προλήψεις. Σελ. 98. §. κή.
Ἀδὰμ πρῶτος ἔδοξε φιλοσοφῆσαι. 1. ά. Σημ. 1. Πρῶτος ὀνοματοθέτης. Αὐτ.
Αἰγύπτιοι Γεωμετρίας Εὑρεταί. 6. ϛ΄.
Αἰνιγμάτων διασάφησις 287. σγή.
Αἱρέσεις Φιλοσοφικαί.
Ἰταλική. 11. ιβ΄. κξ.
Ἐλεατική. 13. ιϛ΄. κξ.
Πυῤῥώνειος. 15. ιθ΄. κξ.
Ἐπικȣ́ρειος. 16. κά.
Ἰωνική. κβ΄. κξ.
Κυνική. 17. κδ΄.
Στωϊκή. 18. κέ.
Κυρηναϊκή. 19. κζ΄.
Ἡγησιακή. Ἀννικέρειος.

A.

Θεοδώρειος. 20. κή.
Ἀκαδημαική. 21. λ΄. κξ.
Ἠλειακή. 22. λέ.
Μεγαρική. λϛ΄.
Ἐρετριακή. λζ΄.
Περιπατητική. 23. λή.
Αἱρέσεις ἐν Ῥώμῃ ἀνθήσασαι πρότε, 24. μά. καὶ ἐπὶ τῶν Καισάρων. 25. μβ΄. μγ΄. κξ.
Αἱρέσεως Ἐκλεκτικῆς χρῆσις τε καὶ κατάχρησις. 29. μή. μθ΄.
Αἰσθήσεις τὸν νȣ͂ν ἀπὸ τῶν νοητῶν ἀφέλκȣσαι. 76. ή. Σφαλεραί. 77. θ΄. Ἃ ταύταις ἐναπαιτεῖται πρὸς ἀσφαλῆ ἀντίληψιν Αὐτ. Παρ᾽ ὃ πεφύκασιν εἰς κρίσιν